# SCYTHINUS

Teius
s. v/iv?

Diogenes Laertius 9. 16, de Heraclito Ἱερώνυμος δὲ (fr. 46 Wehrli) φησι καὶ Σκυθῖνον τὸν τῶν ἰάμβων ποιητὴν ἐπιβαλέσθαι τὸν ἐκείνου λόγον διὰ μέτρου ἐκβαλεῖν.

**1** Plut. *de Pyth. orac.* 16 p. 402a ὕστερον μέντοι (οἱ Μεγαρεῖς) πλῆκτρον ἀνέθηκαν τῷ θεῷ χρυσοῦν, ἐπιστήσαντες ὡς ἔοικε Σκυθίνῳ λέγοντι περὶ τῆς λύρας ἣν

ἁρμόζεται
Ζηνὸς εὐειδὴς Ἀπόλλων πᾶσαν, ἀρχὴν καὶ τέλος
συλλαβών, ἔχει δὲ λαμπρὸν πλῆκτρον ἡλίου φάος.

**2** Stob. 1. 8. 43 ἐκ τοῦ Σκυθίνου περὶ φύσεως·

χρόνος ἐστὶν ὕστατον καὶ πρῶτον πάντων καὶ ἔχει ἐν ἑαυτῷ πάντα καὶ ἔστιν εἷς ἀεί· καὶ οὐκ εἶσιν ὁ παροιχόμενος ἐκ τοῦ ἐόντος αὐτῷ ἐναντίην ὁδὸν †παρεωνιατῶν. τὸ γὰρ αὔριον †ἡ μὲν τῷ ἔργῳ χθές ἐστιν, τὸ δὲ χθὲς αὔριον.

Tetrametros subesse vidit Wilamowitz; quos ego sic restituerim :

ὕστατον πρῶτόν τε πάντων ἔν θ' ἑαυτῶι πάντ' ἔχων,
εἷς ἀεὶ κοὐχ ⟨εἷς· πάλιν γὰρ⟩ εἶσιν ὃς παροίχεται
ἐξ ἐόντος ⟨αὐτὸς⟩ αὐτῶι ⟨τὴν⟩ ἐναντίην ὁδὸν
παρ' ἐνιαυτόν . . .                τὸ δ' αὔριον
ἤματι τρίτωι χθές ἐστιν, ⟨τοῦ⟩το δὲ χθὲς αὔριον.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415736544/152 UNIVERSITÄT LEIPZIG